UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

# Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

## Demosthenes

## Aureliae Allobrogum, 1607

In Stephanum testem II

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

σύρος, ἢ μάνης, ἢ τίς ἕκαστος ἐκείνων, ὁ δὲ φορμίων· ἀλλὰ τὸ πρᾶγμα τὸ αὐτό. δοῦλοι μὲν ἐκεῖνοι. δοῦλος δ' οὗτος ἦν, δεσπόται δ' ὑμεῖς· δεσπότης δ' ἦν ἐγώ. ἣν τοίνυν ὑμῶν ἂν ἕκαστος δίκην ἀξιώσειε λαβεῖν, ταύτην νομίζετε κἀμοὶ προσήκειν νῦν. καὶ τὸν ἀφῃρημένον τῷ μαρτυρῆσαι τὰ ψευδῆ, καὶ ὑπὲρ τῶν νόμων καὶ ὑπὲρ τῶν ὅρκων οὓς ὀμωμοκότες δικάζετε, τιμωρήσασθε. καὶ παράδειγμα ποιήσατε τοῖς ἄλλοις, μνημονεύοντες ἅπαντα ὅσα ἀκηκόατε ἡμῶν. καὶ φυλάττοντες, ἐὰν παράγειν ἐπιχειρῶσιν ὑμᾶς πρὸς ἕκαστον ἀπαντῆτε, ἐὰν μὴ φάσιν ἅπαντα μεμαρτυρηκέναι. τί οὖν ἐν τῷ γραμματείῳ γέγραπται; τί οὖν οὐ τότ' ἀπηλείφου; τί οὖν ἡ παρὰ τοῖς ἄρχουσιν ἀντιγραφή;* ἐὰν μεμαρτυρηκέναι τὸν μὲν ἐπιτροπεῦσαι κατὰ διαθήκας. τὸν δ' ἐπιτροπεῦσαι, τὸν δ' ἔχειν ποίας; ἐν αἷς τί γέγραπται; ταῦτ' ἐρωτᾶτε. ἃ γὰρ οὗτοι μεμαρτυρήκασιν, οὐδεὶς ἐκείνων προσμεμαρτύρηκεν. ἐὰν δ' ὀδύρωνται, τὸν πεπονθότα ἐλεεινότερον τῶν δωσόντων δίκην ἡγεῖσθε. ταῦτα γὰρ ἂν ποιῆτε, ἐμοί τε βοηθήσετε, καὶ τούτους τῆς ἄγαν κολακείας ἐπισχήσετε, καὶ αὐτοὶ τὰ εὔορκα ἔσεσθε ἐψηφισμένοι.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΣΤΕφάνου ψευδομαρτυριῶν δευτέρου λόγου.

Ἐν τούτῳ τῷ λόγῳ καὶ τῶν ἔμπροσθεν τινὰ ἐπικατασκευάζεται, καὶ ἕτερα προστίθεται, εἰ καὶ παράνομοι αἱ διαθῆκαι.

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΚΑΤΑ ΣΤΕΦΑΝΟΥ ΨΕΥΔΟΜΑΡΤΥΡΙΩΝ Β΄.

Ὅτι μὲν οὐκ ἀπορήσειν ἔμελλε στέφανος οὑτοσὶ ὅ,τι ἀπολογήσεται περὶ τῆς μαρτυρίας, φάσκων τῷ λόγῳ, ὡς οὐ πάντα μεμαρτύρηκε τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα, καὶ ἐξαπατήσειν ὑμᾶς, καὶ αὐτὸς σχεδόν τι ὑπενόουν, ὦ ἄνδρες δικασταί. πανοῦργος τε γάρ ἐστι, καὶ οἱ γράφοντες, καὶ οἱ συμβουλεύοντες ὑπὲρ φορμίωνος πολλοί. ἅμα τ' εἰκός ἐστι, τοὺς ἐγχειροῦντας τὰ ψευδῆ μαρτυρεῖν, καὶ τὴν ἀπολογίαν εὐθέως ὑπὲρ αὐτῶν μελετᾶν. ὅτι δ' ἐν τοσούτῳ λόγῳ οὐδαμοῦ μάρτυρας παρέσχετο ὑμῖν, ὡς ἢ διατιθεμένῳ τῷ πατρὶ τῷ ἐμῷ παρεγένοντο αὐτοὶ ταύτην τὴν διαθήκην, ὥστ' εἰδέναι ταῦτα ὅτι ἀντίγραφά ἐστιν ὧν ὁ πατήρ μου διέθετο, ἢ ἀνοιχθὲν εἶδε τὸ γραμματεῖον, ὅ φασι διαθέμενον ἐκεῖνον καταλιπεῖν, ταῦτα συμμέμνησθέ μοι. ἀλλὰ μὴν ὁπότε μεμαρτύρηκεν ἀντίγραφα εἶναι τῆς διαθήκης τῆς πασίωνος τὰ ἐν τῷ γραμματείῳ γεγραμμένα, τὰς διαθήκας μὴ ἔχων ἐπιδεῖξαι, μήθ' ὡς ὁ πατὴρ διέθετο ἰδών, μήθ' ὡς αὐτὸς οἶδε, παραγενόμενος αὐταῖς διατιθεμένῳ τῷ πατρί, πῶς οὐ φανερῶς ἐξελέγχεται τὰ ψευδῆ μεμαρτυρηκώς; εἰ τοίνυν πρόκλησιν φησὶ μεμαρτυρηκέναι, καὶ μὴ μαρτυρίαν, οὐκ ἀληθῆ λέγει. ἅπαντα γὰρ ὅσα παρέχονται εἰς τὸ δικαστήριον, προκαλούμενοι ἀλλήλους οἱ ἀντίδικοι, διὰ μαρτυρίας παρέχονται. οὐ γὰρ ἂν εἰδεῖηθ' ὑμεῖς εἴτ' ἐστὶν ἀληθῆ, εἴτε ψευδῆ, ἃ φασὶν ἑκάτεροι, εἰ μή τις καὶ τοὺς μάρτυρας παρέχοιτο. ὅταν δὲ παράσχωνται, τούτοις πιστεύοντες ὑποδίκοις οὖσι, ψηφίζεσθε ἐκ τῶν λεγομένων καὶ μαρτυρουμένων, ἃ ἂν ὑμῖν δοκῇ δίκαια εἶναι. βούλομαι τοίνυν καὶ τὴν μαρτυρίαν ἐξελέγξαι, ὅτι οὐ πρόκλησίς ἐστι, καὶ ὡς ἔδει μαρτυρεῖν αὐτούς, εἴπερ ἐγίγνετο ἡ πρόκλησις, ὡς οὐκ ἐγίγνετο.

A enim id ſpectandum eſt, Syrus ne an Manes, aut quiſnam ſit eorum quilibet, iſte aūt Phormio ſit: res eſt eadem ſerui & iſti ſunt, ſeruus & iſte fuit: vos aūt domini, dominus & ego fui. Quas igitur pœnas vnuſquiſq. veſtrûm ſumēdas exiſtimaret: eas & mihi nūc ſumēdas exiſtimate: & eum, qui me falſo teſtimonio ſpoliauit, ad cōſeruādas leges, & iuſiurādū, quo adacti ſedetis, vlciſcimini, & exēplū in eo ſtatuite cæteris: recordātes corū omniū quæ à nobis audiuiſtis, & cauētes, ſicubi vos ſeducere inſtituerint: ſingulatim eis occurrentes, ſi ſe nō omnia teſtatos eſſe dixerint: cur igitur in tabella ſcriptum eſt? cur igitur tum non delebas? quæ igitur illa eſt apud prætores litis cōteſtatio? Si ali° ſe fuiſſe dixit ſub tutela ex teſtamēto, alius geſſiſſe tutelam, alius habere teſtamētum, quale? in quo quid ſcriptum eſt? hæc quæritote. Nā quæ iſti teſtati ſūt, ea nemo è cæteris ſuo teſtimonio cōfirmauit. Sin lamētabuntur: eū qui malū accepit, miſerabiliorē iis, qui pœnas daturi ſūt, putatote. Quæ ſi facietis: & me
B iuuabitis: & nimiā iſtorum aſsētationē cohercebitis: & ipſi ea quæ iuriſiurādi religio poſtulat, decernetis.

ARGVMENTVM ORATIONIS IN Stephanum teſtem ſecundæ.

In hac oratione, & quædam è ſuperioribus firmius muniuntur, & alia noua inſeruntur: vt, an & teſtamentum ſit cōtra leges factum.

## DEMOSTHENIS IN STEPHANVM TESTEM, ORATIO ſecunda, Hieronymo VVolfio interprete.

Non defuturam eſse Stephano defenſionem de teſtimonio, ac fore, vt verbis vos circumduceret, ſe non omnia in tabella perſcripta dixiſse, aſserendo, vóſq. decipiendo: & ipſe ferè ſuſpicabar, Iudices. Nam & vafer eſt: & Defenſionē Stephani nihil ad rē facere.
C qui Phormioni ſcriptas orationes & conſilia ſuggerant, multi ſunt: ſimul etiam probabile eſt, eos qui mentiri pro teſtimonio inſtituant: etiam mendaciorum defenſionem ſtatim meditari. Quòd autem in tam prolixa oratione, nuſquam vobis teſtes produxit, ſe vſquam ipſum adfuiſse patri meo id teſtamentum facienti: vt ſcire poſset, exemplum eius teſtamēti id eſse, quod pater meus fecerit: aut apertas vidiſſe tabulas, quas pater pro teſtamento reliquerit: hæc quæſo vos, vt vnà mecum memoriæ mandetis. Verū, quando teſtatus eſt, exemplum eſse teſtamenti Paſionis ea, quæ tabulis inſcripta fuerint, cum oſtendere non poſſit, vel teſtamentum feciſse patrem noſtrum, vel ſe interfuiſse, teſtamentum faciente patre, & vidiſse: nónne apertè cōuincitur falſi teſtimonij? Quòd ſi prouocationē eſse dicit, non teſtimoniū: haud vera prædicat. Quicquid enim in iudicium afferunt in mutua prouocatione aduerſarij: per teſtimoniū afferūt. Neque n. vobis liquere poſset, vera ne eſsent an falſa, quæ vtriq. diceret: niſi quis etiā teſtes adhiberet. iis verò adhibitis, illis credētes, vt qui reddēdis rationib. obnoxij ſint: tū ex his quę à reis, tū ex his quæ à teſtib. dicūtur, ea ſtatuitis & decernitis, quę vobis iuſta eſse videantur. Argumētis aūt oſtendam & teſtimonium eſse, non prouocationē: & quemadmodū oportuiſset teſtificari ſi facta fuiſset, ꝓuocatio, ſicut facta nō eſt.

